πτον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον
τετάρτου· πρῶτον γὰρ τὸ ΑΒ δευτέρου τοῦ Γ ἰσάκις
ἔστω πολλαπλάσιον. καὶ τρίτον τὸ ΔΕ τετάρτου τοῦ Ζ·
ἔστω δὲ καὶ πέμπτον τὸ ΒΗ δευτέρου τοῦ Γ ἰσάκις πολλα-
πλάσιον. καὶ ἕκτον τὸ ΕΘ τετάρτου τοῦ Ζ· λέγω ὅτι καὶ
συντεθὲν πρῶτον καὶ πέμπτον τὸ ΑΗ δευτέρου τοῦ Γ ἰσά-
κις ἔσται πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ τετάρ-
του τοῦ Ζ· ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ
Γ καὶ τὸ ΔΕ τοῦ Ζ· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ ἴσα τῷ Γ. το-
σαῦτα καὶ ἐν τῷ ΔΕ ἴσα τῷ Ζ· διὰ τὰ αὐτὰ δὴ καὶ ὅσα ἐστὶν
ἐν τῷ ΒΗ ἴσα τῷ Γ. τοσαῦτα καὶ ἐν τῷ ΕΘ ἴσα τῷ Ζ· ὅ-
σα ἄρα ἐστὶν ἐν ὅλῳ τῷ ΑΗ ἴσα τῷ Γ. τοσαῦτα καὶ ἐν ὅ-
λῳ τῷ ΔΘ ἴσα τῷ Ζ· ὁσαπλάσιον ἄρα ἐστὶ τὸ ΑΗ τοῦ
Γ. τοσαυταπλάσιον ἔσται καὶ τὸ ΔΘ τοῦ Ζ· καὶ συντεθὲν
ἄρα πρῶτον καὶ πέμπτον τὸ ΑΗ. δευτέρου τοῦ Γ ἰσάκις
ἔσται πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ τετάρτου
τοῦ Ζ· ἐὰν ἄρα πρῶτον δευτέρου ἰσά-
κις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρ-
του. ᾖ δὲ καὶ πέμπτον δευτέρου ἰσάκις
πολλαπλάσιον. καὶ ἕκτον τετάρτου. καὶ
συντεθὲν πρῶτον καὶ πέμπτον δευτέ-
ρου ἰσάκις ἔσται πολλαπλάσιον. καὶ
τρίτον καὶ ἕκτον τετάρτου· ὅπερ ἔ-
δει δεῖξαι:—



Γ ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον. καὶ τρίτον
τετάρτου. ληφθῇ δὲ ἰσάκις πολλαπλάσια τοῦ πρώ-

[illegible]

του καὶ τρίτου. καὶ δι' ἴσου τῶν ληφθέντων ἑκάτερον ἑκατέ-
ρου ἰσάκις ἔσται πολλαπλάσιον τὸ μὲν τοῦ δευτέρου. τὸ δὲ
τοῦ τετάρτου· πρῶτον γὰρ τὸ Α δευτέρου τοῦ Β ἰσάκις
ἔστω πολλαπλάσιον. καὶ τρίτον τὸ Γ τετάρτου τοῦ Δ· καὶ
εἰλήφθω τῶν Α Γ ἰσάκις πολλαπλάσια τὰ ΕΖ ΗΘ·
λέγω ὅτι ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ τοῦ Β. καὶ τὸ
ΗΘ τοῦ Δ· ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ
τοῦ Α καὶ τὸ ΗΘ τοῦ Γ· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΕΖ ἴσα τῷ Α.
τοσαῦτα καὶ ἐν τῷ ΗΘ ἴσα τῷ Γ· διῃρήσθω τὸ μὲν
ΕΖ εἰς τὰ τῷ Α μεγέθη ἴσα τὰ ΕΚ ΚΖ· τὸ δὲ ΗΘ εἰς τὰ
τῷ Γ ἴσα τὰ ΗΛ ΛΘ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΕΚ
ΚΖ τῷ πλήθει τῶν ΗΛ ΛΘ· καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολ-
λαπλάσιον τὸ Α τοῦ Β καὶ τὸ Γ τοῦ Δ. ἴσον δὲ τὸ μὲν ΕΚ
τῷ Α τὸ δὲ ΗΛ τῷ Γ. ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον
τὸ ΕΚ τοῦ Β καὶ τὸ ΗΛ τοῦ Δ· διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ
πολλαπλάσιον τὸ ΚΖ τοῦ Β καὶ τὸ ΛΘ τοῦ Δ· ἐπεὶ οὖν
πρῶτον τὸ ΕΚ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλά-
σιον. καὶ τρίτον τὸ ΗΛ τετάρτου τοῦ Δ. ἔστι δὲ καὶ πέμπτον
τὸ ΚΖ δευτέρου τοῦ Β ἰσάκις πολλαπλάσιον. καὶ ἕκτον
τὸ ΛΘ τετάρτου τοῦ Δ. καὶ συντεθὲν
ἄρα πρῶτον καὶ πέμπτον τὸ ΕΖ. δευ-
τέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλά-
σιον. καὶ τρίτον καὶ ἕκτον τὸ ΗΘ τετάρ-
του τοῦ Δ· ἐὰν ἄρα πρῶτον δευ-
τέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ
τρίτον τετάρτου. ληφθῇ δὲ τοῦ



[illegible]